διὰ λύπην ὢν, τῇ μὲν αἱρετὸν, τὸ δὲ φευκτόν. καὶ ἡ μὲν λύπη ἐξίστησι καὶ φθείρει τὴν τοῦ ἔχοντος φύσιν· ἡ δὲ ἡδονὴ, οὐδὲν τοιοῦτον ποιεῖ· μᾶλλον δὲ, ἑκούσιον· διὸ καὶ ἐπονειδιστότερον· καὶ γὰρ ἐθισθῆναι ῥᾷον πρὸς αὐτά· πολλὰ γὰρ ἐν τῷ βίῳ τὰ τοιαῦτα· καὶ οἱ ἐθισμοὶ, ἀκίνδυνοι. ἐπὶ τῶν φοβερῶν δ' ἀνάπαλιν· δόξειε δ' ἂν οὐχ ὁμοίως ἑκούσιον ἡ δειλία εἶναι τοῖς καθ' ἕκαστον· αὐτὴ μὲν γὰρ ἄλυπος· ταῦτα δὲ διὰ λύπην ἐξίστησιν· ὥστε καὶ τὰ ὅπλα ῥίπτειν, καὶ τὰ ἄλλα ἀσχημονεῖν· διὸ καὶ δοκεῖ βίαια εἶναι. τῷ δ' ἀκολάστῳ ἀνάπαλιν, τὰ μὲν καθ' ἕκαστα, ἑκούσια· ἐπιθυμοῦντι γὰρ καὶ ὀρεγομένῳ· τὸ δ' ὅλον, ἧττον· οὐδεὶς γὰρ ἐπιθυμεῖ ἀκόλαστος εἶναι. τὸ δ' ὄνομα τῆς ἀκολασίας καὶ ἐπὶ τὰς παιδικὰς ἁμαρτίας φέρομεν· ἔχουσι γάρ τινα ὁμοιότητα· πότερον δὲ ἀπὸ ποτέρου καλεῖται, οὐδὲν πρὸς τὰ νῦν διαφέρει. δῆλον δ', ὅτι τὸ ὕστερον ἀπὸ τοῦ προτέρου. οὐ κακῶς δ' ἔοικε μετενηνέχθαι· κεκολάσθαι γὰρ δεῖ τὸ τῶν αἰσχρῶν ὀρεγόμενον καὶ πολλὴν αὔξησιν ἔχον· τοιοῦτον δὲ μάλιστα ἡ ἐπιθυμία, καὶ ὁ παῖς· κατ' ἐπιθυμίαν γὰρ ζῶσι καὶ τὰ παιδία· καὶ μάλιστα ἐν τούτοις ἡ τοῦ ἡδέος ὄρεξις· εἰ οὖν μὴ ἔσται εὐπειθὲς καὶ ὑπὸ τὸ ἄρχον, ἐπὶ πολὺ ἥξει· ἄπληστος γὰρ ἡ τοῦ ἡδέος ὄρεξις, καὶ πανταχόθεν τῷ ἀνοήτῳ· καὶ ἡ τῆς ἐπιθυμίας ἐνέργεια αὔξει τὸ συγγενὲς, κἂν μεγάλαι καὶ σφοδραὶ ὦσι· καὶ τὸν λογισμὸν ἐκκρούουσι· διὸ δεῖ μετρίας αὐτὰς εἶναι καὶ ὀλίγας, καὶ τῷ λόγῳ μηδὲν ἐναντιοῦσθαι. τὸ δὲ τοιοῦτον, εὐπειθὲς λέγομεν καὶ κεκολασμένον. ὥσπερ γὰρ τὸν παῖδα δεῖ κατὰ τὸ πρόσταγμα τοῦ παιδαγωγοῦ ζῆν, οὕτω καὶ τὸ ἐπιθυμητικὸν κατὰ τὸν λόγον. διὸ δεῖ τοῦ σώφρονος τὸ ἐπιθυμητικὸν συμφωνεῖν τῷ λόγῳ· σκοπὸς γὰρ ἀμφοῖν τὸ καλόν. καὶ ἐπιθυμεῖ ὁ σώφρων ὧν δεῖ, καὶ ὡς δεῖ, καὶ ὅτε· οὕτω δὲ τάττει καὶ ὁ λόγος. ταῦτ' οὖν ἡμῖν εἰρήσθω περὶ σωφροσύνης.

A cùm hæc ex voluptate, illa ex dolore existat: ex quibus altera eligenda: alter fugiendus est. Ac dolor quidem exturbat & corrumpit naturam eius, qui eo afficitur: voluptas autem nihil tale facit. Magísque spontanea est: atque idcirco maiori opprobrio prosequenda: Nam & assuescere his rebus, cùm plures in vita hominum eiusmodi sint, facilius est: & assuetudo ipsa periculo vacat, in formidolosis autem rebus contrarium est. Ignauia etiam non simili modo vt particularia esse spontanea
B videri posset: ipsa enim doloris est expers: res autem particulares dolore adeò exturbant, vt & arma abiicere, & cætera indecorè gerere homines non vereantur: atque idcirco esse etiam violentæ videntur. At intemperanti econtrario euenit. particularia enim quippe cùm ea concupiscat, atque appetat, spontanea sunt: totum autem atque vniuersum minus. ne-
C mo enim est, qui intemperans esse cupiat. Nomen autem ipsum intemperantiæ seu incastigationis de puerilibus peccatis dicere consueuimus, vtrum verò ab vtro dicatur, nihil ad præsens negotium refert: posterius enim à priore dictum esse satis constat: ac non malè videtur fuisse translatum: nam quod turpia appetit, incrementúmque magnum accipit, castigandum est ac temperandum: huiusmodi autem ma-
D ximè est & cupiditas & pueri quippe cùm & ex cupiditate viuant pueri, & maximè in ipsis voluptatis vigeat appetitio. Si igitur non obediens, neque imperanti subditum id fuerit, longè latéque efferetur: insatiabilis siquidem rerum iucundarum appetitio est, & stulto vndecunque occurrit, cupiditatis prętere a operatio quod cognatum sibi est, auget: & si magnæ vehementésque fuerint cupiditates: rationem
E extrudunt. Quapropter mediocres eas esse oportet, ac paucas, rationíque minimè aduersantes. Atque id quod tale est, obediens, ac castigatum temperatúmque appellamus. Sicut enim puerum ad pędagogi præceptum viuere oportet: ita concupiscibilem animę facultatem rationis imperio obtemperare: atque ideo temperantis cupiditas cum ratione consentiat, ne-
F cesse est: quippe cum vtrisque propositus scopus honestas sit: nam & temperans cupit quæ oportet, & quando oportet: & ratio quoque ita præscribit. Atque hæc de temperantia dicta à nobis sint.